www.tezaurliturgic.ro

# 14 MARTIE

# SLUJBA SF.CUVIOS BENEDICT DE LA NURSIA

IERUSALIM,1963

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ

# ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ

# ΗΜΩΝ ΒΕΝΕΔΙΚΤΟΥ

**ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ**

**ΕΓΚΡΙΣΕΙ Α. Θ. ΜΑΚΑΡΙΟΤΗΤΟΣ**

**ΕΛΛΗΝΟΡΘΟΔΟΞΟΥ ΠΑΤΡΙΑΡΧΟΥ**

**ΙΕΡΟΣΟΛΥΜΩΝ κ. κ. ΒΕΝΕΔΙΚΤΟΥ**

**ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ**

**ΤΥΠΟΙΣ ΙΕΡΟΥ ΚΟΙΝΟΥ ΤΟΥ Π. ΤΑΦΟΥ**

**1963**

## Εν τω Μικρώ Εσπερινώ.

Ιστώμεν στίχους δ’. και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος α’. Πανεύφημοι Μάρτυρες.

Πάτερ Βενέδικτε η ση, κλήσις προετύπωσε, την εσομένην λαμπρότητα, της πολιτείας σου˙ ως γαρ ευλογίας, Θεϊκής γεώργιον, πλουσίως τους καρπούς της ασκήσεως, εκαρποφόρησας, δι' ων τρέφεις τας ψυχάς ημών, των τελούντων, την αγίαν μνήμην σου.

Πάτερ Βενέδικτε Χριστόν, εκ παιδός ηγάπησας, και κοσμικήν περιφάνειαν μισήσας Όσιε, χαίρων απεδύσω, προς τους της ασκήσεως, αγώνας ουρανίω φρονήματι, και ώφθης άγγελος, μετά σώματος μακάριε˙ δια τούτο, λαμπρώς τεθαυμάστωσαι.

Πάτερ Βενέδικτε η ση, πολιτεία σκεύός σε, περιφανέστατον έδειξε, θείων ελλάμψεων˙ όθεν των εν Δύσει, Μοναστών πολύφωτος, φωστήρ και οδηγός και διδάσκαλος, και τύπος άριστος, εχρημάτισας τοις κρείττοσιν, εκπαιδεύων, τούτων την διάνοιαν.

Πάτερ Βενέδικτε πλησθείς, δωρεών της χάριτος, και δοξασθείς θείω Πνεύματι, πολλών γεγένησαι, αυτουργός θαυμάτων, και ως μύστης ένθεος, των

θείων εν Χριστώ αναβάσεων, πληθύν ωδήγησας, Μοναστών ταις υποθήκαις σου, προς την δόξαν, της άνω λαμπρότητος.

Δόξα. Ήχος δ'.

Ανατεθείς τω Χριστώ, εκ νεαράς ηλικίας, τον κρείττονα βίον επόθησας, όλη ψυχή και καρδία, θεοφόρε Πάτερ Βενέδικτε˙ και τον Σταυρόν αυτού αράμενος, την στενήν και τεθλιμμένην είλου οδόν, ή πρόσκαιρον έχειν, αμαρτίας απόλαυσιν˙ πάντα γαρ ηρνήσω, έξω κόσμου και σαρκός βιωσάμενος˙ όθεν αξίως εδοξάσθης, και μέγας ώφθης εν αρεταίς αιτούμενος πάσι το μέγα έλεος..

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων...

Α π ό σ τ ι χ α

Ήχος β'. Οίκος του Εφραθά.

Μέγας ως αληθώς, εν τη ασκήσει ώφθης, Βενέδικτε τρισμάκαρ˙ εντεύθεν και μειζόνως παρά Θεού δεδόξασαι.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

Τύπος περιφανής, και θείος υποφήτης, προς αρετών υψώσεις, των Μοναζόντων ώφθης, Βενέδικτε Πατήρ ημών.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τον Κύριον...

Βίω αγγελικώ, Χριστόν λαμπρώς δοξάσας, Βενέδικτε θεόφρον, θαυμάτων παραδόξων, πλουσίαν χάριν είληφας.

Δόξα. Τριαδικόν.

Τρίφωτε Παντουργέ, Ομόδοξε Θεότης, Πάτερ Υιέ και Πνεύμα, ελέησον τον κόσμον, πρεσβείαις του Οσίου σου.

Και νυν. Θεοτοκίον.

Πάλαι η νομική, και μανναδόχος στάμνος, προγράφει σε Παρθένε˙ συ γαρ ζωής το μάννα, παρέχεις ταις ψυχαίς ημών.

Νυν απολύεις, το τρισάγιον, το Απολυτίκιον εκ του Μεγάλου Εσπερινού και απόλυσις.

## Εν τω Μεγάλω Εσπερινώ.

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα ιστώμεν στίχους στ' και ψάλλομεν τα εξής Προσόμια.

Ήχος β'. Ότε εκ του ξύλου.

Νεύσει και αγάπη αληθεί, κόσμον αρνησάμενος Πάτερ, εκ βρέφους Όσιε, χαίρων ηκολούθησας, τω σταυρωθέντι Χριστώ˙ και πολλοίς αγωνίσμασι, την σάρκα νεκρώσας, χάριν των ιάσεων, πλουσίως έλαβες, παύειν ασθενείας ποικίλας, και πονηρίας διώκειν, πνεύματα μεγάλως θαυμαζόμενος.

Κόσμος γεγονώς των Μοναστών, ήθροισας ανείκαστον πλήθος, υμνείν τον Κύριον, Όσιε Πατήρ ημών, και προς ουράνιον, πάντας τρίβον ωδήγησας, καλώς επομένους, θείοις σου διδάγμασι, και μιμουμένους σου, βίον ενάρετον μάκαρ˙ ους και πάλιν άμα συνήξας, εν τη μεταστάσει σου Βενέδικτε.

Πάλαι ως Ηλίας υετούς, Πάτερ ουρανόθεν εντεύξει, θεία κατήγαγες˙ βλύζειν δε το έλαιον, άγγος εποίησας, και νεκρόν εξανέστησας, και άλλα μυρία, θαύματα ετέλεσας, εις δόξαν Όσιε, πάντων του Θεού και Σωτήρος˙ όθεν σου την ένθεον μνήμην, πόθω εορτάζομεν Βενέδικτε.

Προσόμοια έτερα.

Ήχος πλ. β’. Όλην αποθέμενοι.

Όλην την διάνοιαν, από παιδός ανατείνας, τω Χριστώ Βενέδικτε, τούτω ηκολούθησας θερμώ έρωτι, και σακρός άπασαν, πρόνοιαν μισήσας, εν σπηλαίω χαίρων ώκησας, βίον ασώματον, Πάτερ εν σαρκί

μετερχόμενος, και τρέπων τον αόρατον, δράκοντα τοις σοις αριστεύμασιν, όθεν επληρώθης, ελλάμψεων των θείων αληθώς, και των θαυμάτων την άφθονον, δωρεάν επλούτησας.

Έλαμψεν ο βίος σου, των αρετών ταις ακτίσι, και παθών σκοτόμαιναν, Όσιε Βενέδικτε διεσκέδασε˙ φωταυγής ώφθης γαρ, ήλιος παμμάκαρ, της εν πνεύματι ασκήσεως, λόγοις και πράξεσι, και ταις θαυμασταίς αποδείξεσι, της σοι δοθείσης χάριτος, τα των Μοναζόντων συστήματα. Απλανώς ρυθμίζων, προς τρίβους εναρέτου αγωγής, ως υποφήτης και πρότυπον, θείας τελειότητος.

Θαύματα παράδοξα, επιτελών τω σω λόγω, ως θεράπων γνήσιος, Άγιε Βενέδικτε του Παντάνακτος, Μοναστών ένθεος, χαρακτήρ και τύπος, και αλείπτης εχρημάτισας, προς τελειότητα, άγων και παθών απονέκρωσιν, αγίαις παραινέσεσι, και τω της ζωής υποδείγματι, τας των φοιτητών σου, αγέλας ως

ποιμήν αληθινός, και μιμητής ακριβέστατος, του σε θαυμαστώσαντος.

Δόξα. Ήχος πλ. β'.

Σήμερον υπέρ ηλίου αυγάς εξέλαμψεν, η του Οσίου Βενεδίκτου μνήμη, την Εκκλησίαν πυρσεύουσα˙ δεύτε ουν, των αρετών αυτού το φως αγάμενοι, πνευματικώς εορτάσωμεν, προς αυτόν εκβοώντες˙ χαίροις ο κλήσει υπεμφαίνων, της εν σοι προμηθείας θεϊκής, τας δαψιλείς διαδόσεις˙ χαίροις της ισαγγέλου ζωής, μυσταγωγός θεοφόρος, και της απαθείας λειμών ευωδέστατος˙ χαίροις των Μοναστών υφηγητής θεοειδής,ο πρακτικώς βραβεύων, ενί εκάστω το λυσιτελές. Και νυν παμμάκαρ Βενέδικτε, τα των καμάτων γέρα κομιζόμενος, απαύστως ικέτευε, ελεηθήναι τας ψυχάς ημών.

Και νυν. Ο αυτός.

Τίς μη μακαρίσει σε, Παναγία Παρθένε; Τίς μη ανυμνήσει σου, τον αλόχευτον τόκον; Ο γαρ αχρόνως

εκ Πατρός εκλάμψας Υιός Μονογενής, ο αυτός εκ σου της Αγνής προήλθεν, αφράστως σαρκωθείς, φύσει Θεός υπάρχων, και φύσει γενόμενος, άνθρωπος δι' ημάς, ουκ εις δυάδα προσώπων τεμνόμενος, άλλ' εν δυάδι φύσεων, ασυγχύτως γνωριζόμενος. Αυτόν ικέτευε, σεμνή παμμακάριστε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος, Φώς ιλαρόν, το Προκείμενον της ημέρας, και τα Αναγνώσματα.

Σοφίας Σολομώντος το Ανάγνωσμα.

(Κεφ. γ' 1).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ' ημών πορεία σύντριμμα˙ οι δε εισίν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται. Ότι ο Θεός επείρασεν

αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ' αυτώ, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ˙ ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα.

(Κεφ. ε'. 15)

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου˙ ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τον ζήλον αυτού, και

οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, και περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα, οξυνεί δε απότομον οργήν εις ρομφαίαν˙ συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει και αυτών ύδωρ θαλάσσης, ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς. Και ερημώσει πάσαν την γην ανομίαν, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν βασιλείς και σύνετε, μάθετε δικασταί περάτων γης. Ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών˙ ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και δυναστεία παρά Υψίστου.

# Σοφίας Σολομώντος το Ανάγνωσμα.

## (Κεφ. δ’. 7).

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε έστι φρόνησις ανθρώποις, και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν αυτού. Βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω επλήρωσε χρόνους μακρούς˙ αρεστή γαρ ήν η ψυχή αυτού˙ δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν, Ιδιόμελα. Ήχος α’.

Ως αστήρ θεοφανής, της νοητής Ανατολής την έλλαμψιν, τοις εν τη Δύσει εκλάμπεις, θεοφόρε Βενέδικτε˙ όθεν οι μοναστικώς ζην αιρούμενοι, απλανή σε φωστήρα, και οδηγόν, ενθεώτατον, κεκτημένοι αγάλλονται˙ και προς κρείττονας επιδόσεις, ταις σαις υποθήκαις μυσταγωγούμενοι, χρεωστικώς την μνήμην σου εορτάζομεν, τω Σωτήρι βοώντες˙ Κύριε δόξα σοι.

Ήχος β’.

Την των Αγγέλων μιμούμενος πολιτείαν, των θεϊκών επλήσθης δωρεών, ως καθαρός τη καρδία, θεοφόρε Βενέδικτε˙ υπερφυώς γαρ ηγωνίσω, εν ακροτάτη ησυχία, και τω Θεώ ηνώθης, συντονωτάτη προσευχή, της σαρκός νεκρώσας το φρόνημα, και θεοειδής γενόμενος˙ όθεν πάσι μετέδωκας, ων ηξίωσαι αγαθών, και ασκητών υποτύπωσις ώφθης, εν λόγω εν έργω εν αναστροφή, και σημείων δυνάμεσι,

και θαυμάτων ενεργείαις· δι’ αυτών γαρ επαίδευες, τα άνω φρονείν και ζητείν, τους πιστώς προσιόντας σοι, και τω Σωτήρι βοώντας· Κύριε δόξα σοι.

Ήχος γ’.

Τίς κατ’ αξίαν υμνήσει, των ασκητικών σου καμάτων τα τρόπαια, και των επάθλων τας δωρεάς, θεοφόρε Βενέδικτε; Πάσης υλικής γαρ αποστάς σχέσεως, του αΰλου φωτός, δοχείον ώφθης καθαρώτατον· και της κεκρυμμένης εν Χριστώ ζωής, τας αντιμισθίας εκφαίνων, νεκρούς ως εξ ύπνου ανέστησας, παρειμένους συνέσφιγξας, και υετόν εξ ουρανού, ως Ηλίας κατήγαγες· και τας ψυχικάς διαθέσεις ορών, φυτοκόμος αρετών, εν θαυμάτων δυνάμει, ανεδείχθης τοις βοώσι· Κύριε δόξα σοι.

Ήχος δ’.

Ασκητικώς πολιτευσάμενος, εκ νεαράς ηλικίας θεράπων ώφθης του Χριστού, Βενέδικτε Όσιε· επιγείου γαρ πλούτου, τον ουράνιον προτετίμηκας·

και εν πτωχεία και νεκρώσει των παθών, της μεν απαθείς ημφιάσω την στολήν την θεοΰφαντον, του δε αρχαίου πτερνιστού την κακίαν, πάσαν απεγύμνωσας· πάσι δε μονασταίς, την οδόν υπέδειξας την σωτήριον, βοών προς αυτούς· Δεύτε τέκνα, δουλεύσατε τω Κυρίω, εν οσιότητι και αληθεία ως αν των αιωνίων, αγαθών επιτύχωμεν.

Δόξα. Ο αυτός.

Τον εν Οσίοις μέγιστον, Βενέδικτον τον θεόφρονα, τον εν αρεταίς και θαύμασι διαλάμψαντα, ύμνοις και ωδαίς πνευματικαίς ευφημήσωμεν· την κρείττονα γαρ τρίβον, εκ πρώτης ηλικίας, νουνεχών ηρετίσατο· και ταύτην καλώς οδεύσας, τας κατ' αυτήν μεθοδείας του εχθρού, πάσιν απεκάλυψε, τοις επιποθούσι ακολουθήσαι τω Χριστώ· και τύπον ημίν καταλείψας, εναρέτου αγωγής, της των Ασωμάτων συναυλίας ηξίωται· μεθ' ών και πρεσβεύει, υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων…

Εις τον Στίχον Στιχηρά Προσόμοια.

Ήχος πλ. α’. Χαίροις ασκητικών.

Χαίροις των ασκητών αρχηγός, των εν τη Δύσει θεοφόρε γενόμενος˙ της θείας Ανατολής γαρ, δι’ ισαγγέλου ζωής, τας ελλάμψεις Πάτερ κληρωσάμενος, το φως της ασκήσεως, πολιτείας της κρείττονος, πάσιν εκλάμπεις, ως φωστήρ ουρανόφωτος, λύων πάντοτε, των παθών την σκοτόμαιναν, βίου δε καθαρότητος, την άφθονον, και τας σεπτάς αναβάσεις, μυσταγωγών τους θεόφρονας, Χριστώ δε πρεσβεύων, ιλασμόν ημίν δοθήναι, σοφέ Βενέδικτε.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

Χαίροις ο εκ παιδός τω Χριστώ, όλη καρδία και ψυχής καθαρότητι, και πίστει τελειοτάτη,

καθιερώσας σαυτόν, ταπεινώσει θεία σεμνυνόμενος˙ εντεύθεν ως άσαρκος, την ζωήν σου διήνυσας, και Μοναζόντων, υποφήτης θεόσοφος, εχρημάτισας, αρετών προς επίδοσιν, λόγω μεν την διάνοιαν, προς θείαν αγάπησιν, έργω δε τούτων τον βίον, άγων προς θείαν τελείωσιν, Βενέδικτε Πάτερ, και αιτούμενος τοις πάσι, το θείον έλεος.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τον Κύριον...

Βίον αγγελικόν υπελθών, άγγελος ώφθης μετά σώματος Όσιες, και πλήρης θείων χαρίτων, και πάση γη θαυμαστός, παραδόξοις έργοις δοξαζόμενος˙ νεκρούς γαρ ανέστησας, ζωηφόρω εντεύξει σου, όμβρον ευχή σου ουρανόθεν κατήγαγες, και τα πόρρωθεν, ως παρόντα προείρηκας˙ στύλος δε παμφαέστατος, και θείος διδάσκαλος, και θεοφόρος αλείπτης, των Μοναζόντων γεγένησαι, Χριστόν ικετεύων, ταις ψυχαίς ημών δοθήναι, το μέγα έλεος.

Δόξα. Ήχος πλ. δ’.

Την φερώνυμον κλήσίν σου, επαληθεύουσαν έδειξας, τη ισαγγέλω ζωή σου, θεοφόρε Βενέδικτε˙ ευλογίας γαρ καρπούς, ως δένδρον αειθαλές της ασκήσεως, τοις Μοναστaίς εκαρποφόρησας, ως δεδεγμένος άνωθεν το χάρισμα˙ εξ ών μετέχοντες νοερώς, των παθών την πικρίαν εκκρουόμεθα˙ και την σην παγγέραστον τελούντες μνήμην, Χριστόν δοξάζομεν Πάτερ, τον θαυμαστώς σε δοξάσαντα.

Και νυν. Θεοτοκίον.

Ανύμφευτε Παρθένε, η τον θεόν αφράστως συλλαβούσα σαρκί, μήτηρ θεού του Υψίστου, σων ικετών παρακλήσεις, δέχου Πανάμωμε, η πάσι χορηγούσα, καθαρισμόν των πταισμάτων˙ νυν τας ημών ικεσίας προσδεχομένη, δυσώπει σωθήναι πάντας ημάς.

Νυν απολύεις, το τρισάγιον, το Απολυτίκιον.

Ήχος δ', Ταχύ προκατάλαβε.

Χριστώ εκ νεότητος, ακολουθήσας θερμώς, κανών ώφθης άριστος, της εναρέτου ζωής, Βενέδικτε Όσιε˙ συ γαρ δι' εγκρατείας, δοξασθείς ουρανόθεν, στύλος φωτός εδείχθης, Μοναστών ταις χορείαις, παρέχων, ενί εκάστω, Πάτερ τα πρόσφορα.

Έτερον. Ήχος α'. Της ερήμου πολίτης.

Την φερώνυμον κλήσιν αληθεύουσαν έδειξας, τοις ασκητικοίς σου αγώσι, θεοφόρε Βενέδικτε˙ υιός γαρ ευλογίας τεθηλώς, αρχέτυπον εγένου και κανών, τοις εκ πόθου μιμουμένοις την σην ζωήν, και ομοφώνως κράζουσι. Δόξα τω δεδωκότι σοι ισχύν, δόξα τω σε στεφανώσαντι, δόξα τω ενεργούντι δια σου, πάσιν ιάματα.

Θεοτοκίον.

Του Γαβριήλ φθεγξαμένου...

**Απόλυσις.**

# Εις τον Όρθρον.

Ήχος α’. Τον τάφον σου Σωτήρ.

Εκ παίδων τω Θεώ, ανετέθης θεόφρον, μισήσας της σαρκός ηδυπάθειαν πάσαν, και ήσκησας ως άσαρκος, θεοφόρε Βενέδικτε˙ όθεν γέγονας, των Μοναστών ποδηγέτης, ως της χάριτος εισδεδεγμένος τον πλούτον˙ διο σε γεραίρομεν.

Θεοτοκίον.

Ετέχθη υπέρ νουν, εξ αγνών σου αιμάτων, ο πάντων συνοχεύς, τον Αδάμ αναπλάττων, και μείνας όπερ πέφυκε, και Παρθένον τηρήσας σε˙ ον ικέτευε, εκ πάσης ρύεσθαι βλάβης, τους υμνούντας σε, θεοχαρίτωτε Κόρη, βροτών καταφύγιον.

Μετά την Β’ Στιχολογίαν, Κάθισμα.

Ήχος δ’. Κατεπλάγη Ιωσήφ.

Μοναστών υπογραμμός, και ασκητών υφηγητής, ανεδείχθης αληθώς, τη ισαγγέλω σου ζωή, και των

θαυμάτων εκομίσω την δύναμιν˙ ένθεν ιερά, φροντιστήρια, ήγειρας σοφέ, Θεού εις αίνεσιν, εν οις ψυχών νεουργείται κατάστασις, και σωτηρία αιώνιος, των πειθαρχούντων, τοις σοις κανόσι, θεοφόρε Βενέδικτε.

Θεοτοκίον.

Απειράνδρως τον Χριστόν, κυοφορήσασα Αγνή, την φθαρείσαν των βροτών, τη παραβάσει τη πικρά, φύσιν εκαίνισας Κόρη τω τοκετώ σου˙ όθεν πηγήν, της αναπλάσεως, και ρίζαν της ημών, ανακαινίσεως, υμνολογούμεν φωναίς ευχαρίστοις σε, και εκβοώμέν σοι Άχραντε˙ Μη διαλίπης, αεί παρέχειν, ημίν πάσι βοήθειαν.

Μετά τον Πολυέλεον Κάθισμα.

Ήχος δ’. Ταχύ προκατάλαβε.

Ασκήσει κατέβαλες, τας του εχθρού μηχανάς, και θαύμασιν έδειξας, του Παρακλήτου εν σοι, την χάριν την άφθονον˙ ίθυνας μοναζόντων, τους χορούς

θεοφρόνως, πράξεσιν εναρέτοις, και σοφαίς υποθήκαις˙ διο σε μακαρίζομεν, Βενέδικτε Όσιε.

Θεοτοκίον.

Το βρότειον φύραμα, εκ της σαρκός σου Αγνή, ο Λόγος ο σύνθρονος, του Προανάρχου Πατρός, λαβών ως ηυδόκησεν, ώφθη διπλούς τω κόσμω, εν μια υποστάσει, και έλυσε του θανάτου, την πικράν τυραννίδα˙ διο θεογεννήτορ, υμνούμεν την δόξαν σου.

Το α’. αντίφωνον του δ’. ήχου και το Προκείμενον.

Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τον Κύριον...

Ευαγγέλιον Οσιακόν.

Ο Ν’. Δόξα, Ταις του Οσίου...

Και νυν. Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. β'.

Στίχ. Ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου…

Τω θείω πόθω του Χριστού, την ψυχήν τετρωμένος, την τρίβον της ζωής ακλινώς εβάδισας, Όσιε˙ και εν ασκήσει καρτερόφρων φανείς, μοναστικής πολιτείας, εμυήθης τους όρους, και δι' αυτών σοφώς ερρύθμισας, τους επομένους τω βίω σου. Άλλ' ως έχων παρρησίαν προς Χριστόν, πρέσβευε υπέρ των ψυχών ημών.

Είτα οι κανόνες˙ Κανών του Οσίου, ου η ακροστιχίς.

«Ύμνον προσάξω τω σοφώ Β ενεδίκτω. Ιωσήφ».

Ωδή α'. Ήχος β'. Δεύτε λαοί.

Υμνολογείν, την αξιέπαινον μνήμην σου, πριαρουμένω Όσιε, χάριν δοθήναί μοι, Βενέδικτε δυσώπει, και πάντων επταισμέμων, την απολύτρωσιν.

Μοναδικώς, τον σον εκ βρέφους αράμενος, σταυρόν κατηκολούθησας, τω Παντοκράτορι, και νεκρώσας την σάρκα, ζωής κατηξιώθης, μακαριώτατε.

Νόμω Θεού, υπολιθείς παμμακάριστε, τα των παθών σκιρτήματα, εναπεμάρανας, εγκρατείας ιδρώσι, και την της απαθείας, χάριν επλούτησας.

Θεοτοκίον.

Οι δια σου, την αφθαρσίαν πλουτήσαντες, Θεοκυήτορ Πάναγνε, χαίρε βοώμέν σοι, η Κεχαριτωμένη, Οσίων και Δικαίων, το εγκαλλώπισμα.

Ωδή γ'. Στερέωσον ημάς.

Ναμάτων ζωτικών του θείου Πνεύματος, πλησθείσα Βενέδικτε η ψυχή σου, ποταμούς θαυμάτων έβλυσε, νοσημάτων εξαίροντας επήρειαν .

Προς πλάτος Παραδείσου κατεσκήνωσας, παμμάκαρ οδεύσας στενήν την τρίβον, και δαιμόνων πανουργεύματα, και πορείας ατάκτους απεστένωσας.

Ροαίς σου των δακρύων αρδευόμενος, ως δένδρον Βενέδικτε καρποφόρον, ευκαρπίαν θείαν ήνεγκας, αρετών και θαυμάτων θεία χάριτι.

Θεοτοκίον.

Ο μόνος αγαθός την σην σαρκούμενος, υπέδυ Παναμώμητε γαστέρα, και βροτός ωράθη τέλειος˙ ον ικέτευε σώσαι τας ψυχάς ημών.

Κάθισμα. Ήχος α’. Του λίθου σφραγισθέντος.

Μονάσας θεαρέστως εναρέτως εβίωσας, και χάριν ιαμάτων, εκομίσω Βενέδικτε, θαυμάσια τελέσας, φοβερά, Μονήν δε συγκροτήσας ιεράν, προσενήνοχας Κυρίω, των σωζομένων πληθύν παναοίδιμε. Δόξα τω σε λαμπρύναντι Θεώ, δόξα τω σε στεφανώσαντι, δόξα τω ενεργούντι δια σου, πάσιν ιάματα.

Θεοτοκίον.

Τας χείράς σου τας θείας αις τον Κτίστην εβάστασας, Παρθένε Παναγία, σαρκωθέντα

χρηστότητι, προτείνασα δυσώπησον αυτόν, λυτρώσασθαι ημάς εκ πειρασμών, και παθών και των κινδύνων, τους ευφημούντας πόθω και βοώντάς σοι. Δόξα τω ενοικήσαντι εν σοι, δόξα τω προελθόντι εκ σου, δόξα τω ελευθερώσαντι ημάς, δια του τόκου σου.

Ωδή δ'. Υμνώ σε˙ ακοήν γαρ Κύριε.

Σταυρώσας σεαυτόν τοις πάθεσι, και τω κόσμω θεόφρον Πάτερ, τον εν Σταυρώ τείναντα, εθελουσίως τας παλάμας, Χριστόν εθεράπευσας Βενέδικτε˙ ον εκδυσώπει σώσαι τας ψυχάς ημών.

Αγώσιν εγκρατείας Όσιε, της σαρκός νεκρώσας τα μέλη, νεκρούς ευχή ήγειρας, και παρειμένους ευδρομίαν, πιστώς θαυμαζόμενος απένειμας, και πάσαν νόσον Πάτερ εθεράπευσας.

Ξηράς τε και ανίκμους Όσιε, απειργάσω ψυχάς γονίμους, τω ζωτικώ λόγω σου, και των θαυμάτων

επιδείξει, Ποιμήν θεοπρόβλητος γενόμενος, και Μοναζόντων κόσμος ωραιότατος.

Θεοτοκίον.

Ως όμβρος επί πόκον Άχραντε, τη σεπτή σου γαστρί ο Λόγος, κατήλθε σαρκούμενος, και έπαυσε πολυθεΐας, σαφώς τα ομβρήματα Πανάμωμε, και τον πικρόν χειμώνα διεσκέδασε.

Ωδή ε'. Ο του φωτός χορηγός.

Τον εν ελέει Θεόν, εκδυσωπών Πάτερ σοφέ έπλησας, ως Ηλιού καμψάκην ελαίου, το άγγος το μέγα, υπό των ορώντων πιστώς θαυμαζόμενος.

Ως καθαρός την ψυχήν, συ εν εκστάσει γεγονώς έβλεψας, πάσαν την γην, ως υπό ακτίνα, λαμπομένην μίαν, Θεού σε τιμώντος, παμμάκαρ Βενέδικτε.

Σημειουργών εν Χριστώ, ύδωρ πηγάσαι δι' ευχής Όσιε, εκδυσωπείς τον αγαθοδότην˙ όπερ διαμένει, επανακηρύττον, το θαύμα Βενέδικτε.

Θεοτοκίον.

Ο κατοικών ουρανούς, την σην πανάμωμον νηδύν ώκησεν, όπως ημάς, οίκους της Τριάδος εναποτελέση, τους σε Θεοτόκον, κηρύττοντας Άχραντε.

Ωδή στ’. Εν αβύσσω πταισμάτων.

Φωταυγείας λαμπόμενος Πνεύματος, σκότος πονηρών δαιμόνων εμείωσας, θαυματουργέ Βενέδικτε, Μοναζόντων φωστήρ διαυγέστατε.

Ως περίδοξος μάκαρ ο βίος σου, ως περιφανής η σεπτή πολιτεία σου, δι’ ης αγέλας είλκυσας, Μοναζόντων προς γνώσιν σωτήριον.

Βασιλείας οικήτωρ γενόμενος, της επουρανίου θεόφρον Βενέδικτε, ταύτης τυχείν ικέτευε, τους πιστώς σε αεί μακαρίζοντας.

Θεοτοκίον.

Εκ γαστρός σου αγίας ανέτειλε, της δικαιοσύνης ανέσπερος ήλιος, και τους πιστούς εφώτισε, Θεοτόκε Παρθένε Πανύμνητε.

Κοντάκιον. Ήχος πλ. δ'. Τη υπερμάχω.

Ανατολής της νοητής φωστήρ γενόμενος

Τω εν τη Δύσει Μοναστών ώφθης διδάσκαλος

Δια βίου τε και λόγου τούτους παιδεύων.

Άλλ' ιδρώσι των λαμπρών κατορθωμάτων σου

Των παθών ημών τον ρύπον αποκάθαρον

Των βοώντων σοι, χαίροις Πάτερ Βενέδικτε.

Άγγελος σαρκοφόρος, ανεδείχθης εν κόσμω, Βενέδικτε Οσίων ακρότης, και της ισαγγέλου βιοτής, υφηγητής ώφθης θεοειδέστατος, ιθύνων ασφαλέστατα, τους εκβοώντάς σοι τοιαύτα.

Χαίρε φωστήρ βιοτής οσίας

Χαίρε λειμών ο της απαθείας

Χαίρε της Νουρσίας το ένθεον βλάστημα

Χαίρε εγκρατείας το έμπνουν παράδειγμα

Χαίρε στύλος ουρανόφωτος της ασκητικής ζωής

Χαίρε τύπος θεοτύπωτος συντονίας πρακτικής

Χαίρε ότι υπάρχεις Μοναστών ποδηγέτης

Χαίρε ότι τυγχάνεις ασκητών υποφήτης

Χαίρε κανών σεπτών αναβάσεων

Χαίρε λαμπτήρ αΰλων ελλάμψεων

Χαίρε πολλών αυτουργέ θαυμασίων

Χαίρε πυρσέ δωρεών ουρανίων

Χαίρε Πάτερ Βενέδικτε.

Συναξάριον.

Τη ιδ' του αυτού μηνός, μνήμη του Οσίου και θεοφόρου Πατρός ημών Βενεδίκτου.

Στίχ. Άγξας λογισμοίς ως χαλινοίς παν πάθος Ζωής χαλινούς Βενέδικτος εκπτύει.

Ούλυμπον Βενέδικτος έβη δεκάτη γε τετάρτη.

Ταις αυτού πρεσβείαις Χριστέ ο Θεός, και πάντων σου των Αγίων ελέησον και σώσον ημάς, Αμήν.

Ωδή ζ'. Ρήτορες ανεδείχθησαν.

Νέκρωσιν ζωηφόρον εκτήσω, των ηδονών τη αποχή˙ όθεν νεκρούς εξεγείρειν, κατηξιώθης παμμάκαρ Βενέδικτε, θαυμαζόμενος υπό πάντων, των πιστών ως Ηλιού ο μέγας.

Ειργάσω τοις οσίοις σου πόνοις, Μάνδραν απείρων Μοναστών, ήτις αεί διαμένει, τειχιζομένη ταις προστασίαις σου, αξιάγαστε πειθομένη, τοις καλώς υπό σου τυπωθείσι.

Δόξαντες θανατώσαι αφρόνως, μάκαρ φαρμάκοις πονηροίς, σε τον φρουρούμενον θεία, του Παντουργού παλάμη, οι άφρονες κατησχύνθησαν, φωραθέντες τη εν σοι του Πνεύματος προγνώσει.

Θεοτοκίον.

Ίασαι της ψυχής μου τα πάθη, της απαθείας την πηγήν, η συλλαβούσα Παρθένε˙ και κατανύξεως όμβρους παράσχου μοι, προξενούντάς μοι την παράκλησιν, εκεί αγία Θεοτόκε.

Ωδή η'. Τον εν καμίνω του πυρός.

Κατά παθών φθοροποιών, βασιλεύσας εν Χριστώ θεόφρον Πάτερ, ουρανών βασιλείαν, κατηξιώθης οικείν, συν πάσι τοις καλώς βιώσασι, και τον Παντεπόπτην Θεό ηγαπηκόσι.

Τας σας αγίας προσευχάς, προσδεχόμενος Θεός τοις ενδεέσι, δια σου εχορήγιε, τας προς το ζην αφορμάς, μεγάλως επί γης δοξάζων σε, ταις θαυματουργίαις, Βενέδικτε τρισμάκαρ.

Ωραιωθείς ταις καλλοναίς, των ενθέων αρετών προς τους ωραίους, μετετέθης νυμφώνας, Πάτερ συνείναι Θεώ, και τούτου θείας ωραιότητος, εις τους απεράντους, αιώνας απολαύειν.

Θεοτοκίον.

Ιδού γεγέννηται εκ σου, Ησαΐας ως βοά Αγνή παιδίον, ο Υιός του Υψίστου, και σος οράται Υιός, Παρθένε υιούς εργαζόμενος, του επουρανίου, Πατρός τους σε υμνούντας.

Ωδή θ'. Τον εκ Θεού Θεόν Λόγον.

Ώφθης ως ήλιος μέγας, καταυγάζων την κτίσιν, σημείοις θεοφόρε φοβεροίς, και αρετών αναλάμψεσι˙ δια τούτο τελούμεν, την μνήμην σου την όντως φωταυγή, φωτιζόμενοι Πάτερ, καρδίας αισθητήρια.

Σε Μοναζόντων αγέλαι, υπό σου κροτηθείσαι, ημέρας ευφημούσι και νυκτός, μέσον το σώμά σου έχοντες, αναβλύζον πλουσίως, θαυμάτων ποταμούς Πάτερ σοφέ, και φωτίζον τα τούτων, απαύστως διαβήματα.

Ηλιακών λαμπηδόνων, υπερήστραψας Πάτερ, τελέσας του Θεού τας εντολάς, και προς το φως το

ανέσπερον, μετετέθης πρεσβεύων, δοθήναι ιλασμόν αμαρτιών, τοις πιστώς σε τιμώσιν, αοίδιμε Βενέδικτε.

Θεοτοκίον.

Φωτοκυήτορ Παρθένε, της ψυχής μου τα νέφη, απέλασον και δίδου καθαρώς, προσενοπτρίζεσθαι Δέσποινα, το σωτήριον κάλλος, του λάμψαντος αρρήτως εκ της σης, παναγίας νηδύος, εις φως εθνών Πανύμνητε.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Του κόσμου την τερπνότητα, από παιδός εμίσησας, και την ευπάθειαν πάσαν, απαρνησάμενος Πάτερ, εις έρημον κατώκησας, ασκήσει καθαιρόμενος˙ όθεν του θείου Πνεύματος, των χαρισμάτων επλήσθης, Βενέδικτε θεοφόρε.

Θεοτοκίον.

Τον Ποιητήν της κτίσεως, υπερφυώς κυήσασα, σωματικώς Θεοτόκε, δίχα τροπής ώσπερ οίδε, προστάτις και προσφύγιον, και μέγα ιλαστήριον,

παντός του κόσμου πέφηνας˙ διο προς σε πάση ώρα, προστρέχομεν ολοψύχως.

Εις τους Αίνους.

Ιστώμεν στίχους δ’. και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος πλ. δ’. Ώ του παραδόξου θαύματος!

Όσιε Πάτερ Βενέδικτε, έρωτι θείω τρωθείς, εκ παιδός χαίρων πέφευγας, πάσαν ηδυπάθειαν, των φθαρτών οία πρόσκαιρον, και τω Σωτήρι κατηκολούθησας, σαυτόν τελείως απαρνησάμενος˙ ώ των αγώνων σου! Ότι ώσπερ άσαρκος, μετά σαρκός, ήνυσας στερρότατα, βίον ουράνιον.

Όσιε Πάτερ Βενέδικτε, καταυγασθείς την ψυχήν, τη ελλάμψει του Πνεύματος, ασκητών διδάσκαλος, θεοδίδακτος πέφηνας, τούτων παιδεύων σοφώς το φρόνημα, προς το βραβείον της άνω κλήσεως˙ όθεν συνόμιλος, Ασωμάτων γέγονας, τας αμοιβάς, δαψιλώς δεχόμενος, της σης ασκήσεως.

Πάτερ θεόφρων Βενέδικτε, την των θαυμάτων ισχύν, εκ Θεού κομισάμενος, ως θεράπων γνήσιος, της αυτού αγαθότητος, νεκρούς καθάπερ υπνούντας ήγειρας, και παρειμένους λόγω υγίασας˙ ώ της πλουσίας σου, δόξης και λαμπρότητος! Δι’ ης εν γη πάση περιβόητος, ώφθης μακάριε.

Πάτερ Πατέρων Βενέδικτε, οίκος Θεού γεγονώς, και δοχείον υπέρτιμον, θεϊκής χρηστότητος, τη λαμπρά πολιτεία σου, πλείστα σεμνεία ψυχών ανήγειρας, και μοναζόντων χορούς συνήθροισας˙ όθεν την μνήμην σου, την σεπτήν γεραίροντες, προς τον Χριστόν, πρέσβυν σε θερμότατον, νυν προβαλλόμεθα.

Δόξα. Ήχος πλ. δ’.

Των αρετών τω φέγγει, ώσπερ ήλιος εξέλαμψας, εν τη ασκήσει Όσιε˙ τα γαρ πάθη της σαρκός, περιουσία σοφίας, και εγκρατείας ιδρώσιν, οία ζόφον απεβάλου, και τω φωτί του θείου νόμου, το σον

κατεύθυνας θέλημα. Και νυν παμμάκαρ Βενέδικτε, των καμάτων τα γέρα κομιζόμενος, πρέσβευε υπέρ των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Δοξολογία μεγάλη και απόλυσις.

## Εις την Λειτουργίαν.

Ει μεν τελήται Λειτουργία του Χρυσοστόμου, τυχούσης της εορτής του Αγίου εν ημέρα Σαββάτου, ψάλλομεν τα τυπικά, και εκ του κανόνος αυτού η γ’. και στ’. ωδή. Απόστολον δε και Ευαγγέλιον του Αγίου Σάββα, και κοινωνικόν, Εις μνημόσυνον αιώνιον...

Ει δε τελήται Προηγιασμένη, μετά τα συνήθη, εις το Κύριε εκέκραξα ψάλλομεν τροπάρια ι’. το Ιδιόμελον της ημέρας δις, το Μαρτυρικόν, τα τρία του Τριωδίου, και τα εξής δ’. του Οσίου.

Ήχος β'. Ότε εκ του ξύλου.

Ότε εκ νεότητος Χριστώ, Πάτερ ηκολούθησας χαίρων, κόσμου λιπών τα τερπνά, τότε προσεχώρησας εις τόπον έρημον, και συντόνοις ασκήσεσι, τον νουν εκκαθάρας, Πνεύματος ενέργειαν, άνωθεν δέδεξαι, λύειν των παθών τας οδύνας, και τας σωτηρίους παρέχειν, δόσεις τοις προστρέχουσι Βενέδικτε.

Ότε των αγώνων τω φωτί, έλαμψας ως πάμφωτον άστρον, τη κτίσει Όσιε, τότε ενθεώτατος ώφθης διδάκαλος, και κανών και αρχέτυπον, ζωής ισαγγέλου, Όσιε Βενέδικτε, Αγγέλων σύσκηνε, λόγω οδηγών προς τα άνω, και τη πολιτεία ιθύνων, Μοναστών χορείας θείω Πνεύματι.

Ότε ώσπερ άλλος Ηλιού, όμβρον ουρανόθεν ευχή σου, Πάτερ κατήγαγες, τότε πάσιν έδειξας, αριδηλότατα, της ψυχής σου την έλλαμψιν, και την από ταύτης, χάριν πλουσιόδωρον, οία θεράπων Θεού·

όθεν και νεκρούς αναστήσας, και πηγήν εκ της αναβλύσας, θαυμαστώς Βενέδικτε δεδόξασαι.

Ότε μετετέθης προς Θεόν, τον σον εκτελέσας οσίως, βίον Βενέδικτε, τότε εθεάσαντο οι καθαροί την ψυχήν, την εκ γης προς ουράνια, λαμπράν σου πορείαν, και την σην ηγάσθησαν, δόξαν και εύκλειαν. Όθεν συν Αγγέλοις χορεύων, πάντοτε δυσώπει σωθήναι, τους ειλικρινώς σε μακαρίζοντας.

Δόξα. Ήχος β'.

Υποσχών τον αυχένα, τω του Σωτήρος ζυγώ, κατ' αξίαν της κλήσεως, πεπολίτευσαι Όσιε˙ πάσης γαρ ματαίας σχέσεως, αποχωρίσας σ' αυτόν, δι' ακροτάτης ησυχίας, των υπέρ αίσθησιν ηξίωσαι, ανακαθάρας τον νουν˙ και πράξει και θεωρία διαπρέψας, πανταχού περίβλεπτος ώφθης, και Μοναστών ακροθίνιον. Άλλ' ώ θεοφόρε Πάτερ Βενέδικτε, αδιαλείπτως ικέτευε, υπέρ των ψυχών ημών.

Και νυν.

Την πάσαν ελπίδα μου...

Είσοδος, Φως ιλαρόν, τα Αναγνώσματα του Τριωδίου ως συνήθως, το, Κατευθυνθήτω και αμέσως Απόστολον και Ευαγγέλιον του Οσίου κ.λ.π.

Κοινωνικόν. Εις μνημόσυνον αιώνιον...

Μεγαλυνάριον.

Χαίροις των Οσίων η καλλονή, και μονήρους βίου, υποτύπωσις και κανών˙ χαίροις θεοφόρε, Βενέδικτε τρισμάκαρ, ημών προς τον Δεσπότην, πρέσβυς ακοίμητος.

Δίστυχον.

Βενεδίκτω αίνεσιν την δε προσάδει

Γεράσιμος χάριτι θεία ισχύσας.